Legrand, Bibl. Hell. XVIII, 1, σ. 125-127

Γρηγορᾶς
Μητροφάνης

Εἰς τὸ ὑπὸ Legrand περιγραφόμενον ἔνθ' ἀνωτ. (ἀριθ. 101) βιβλίον:
« ΧΡΥΣΑΝΘΟΥ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΣΥΝΤΑΓΜΑΤΙΟΝ. περί τῶν Ὀφφικίων, Κληρικάτων καὶ Ἀρχοντικίων τῆς τοῦ Χριστοῦ ἁγίας Ἐκκλησίας, καὶ τῆς σημασίας αὐτῶν ...... Τυπωθὲν. Ἐπιμελείᾳ καὶ διορθώσει Μητροφάνους* ταπεινοῦ Ἱερομονάχου τοῦ ἐκ Δωδώνης, Ἐν τῇ κατὰ τὸ Τεργόβυστον τῆς Οὐγγροβλαχίας ἀγιωτάτῃ Μητροπόλει. Ἐν ἔτει ἀπὸ Θεογονίας Χιλιοστῷ ἑπτακοσιοστῷ Δεκάτῳ Πέμπτῳ.... » δημοσιεύεται τὸ ἐπίγραμμα:

« Πρὸς τὸν εὐσεβέστατον, ἐκλαμπρότατον καὶ ὑψηλότατον αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγγροβλαχίας κύριον κύριον

[* Γρηγορᾶς]

./.

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

Ἰωάννην Στέφανον βοεβόδα τῷ βασιλικῷ γένει τῶν Καντακουζη-
νῶν τὸν ἀπόγονον.

Ἡ εἰς τὸ εἶναι οὐσίας παρηγμένης
θνητῆς τ' ἀνωλέθρου τε πάσης δεσπότις
τῶν δ' ὀρθοδόξων καὶ σκέπη καὶ προστάτις,
τῶν προσκυνούντων τὸν σὸν ἄρρητον τόκον,
καθικέτευε τὴν τρίφωτον οὐσίαν,
ἅμα στρατάρχαις πυριμόρφων ταγμάτων,
βροτῶν, ὀλυμπίων τε θείᾳ πληθύϊ
σώζειν ἄαστον ἱδρύειν τε ὑψόθεν
ἄσειστον, ἀκράδαντον ἐστηριγμένον
ἀγακλεῶς τε ἐν θρόνῳ τετιμένον
δῖον Στέφανον γῆς Μυσῶν τῶν ἡγέτην

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Legrand, Bibl. Hell. XVIII, 1, σ. 125-127

Γρηγορᾶς
Μητροφάνης

Ακαδημία Αθηνών / Academy of Athens

τῶν ἐξ ἀνάκτων Καντακουζηνωνύμων
ἕλκοντα κεδνὸν καὶ θεόσκεπτον γένος·
οὗ εἰς τὸ πρῶτον τῆς ἀρχῆς ἔτος
ἡ βίβλος αὕτη ἐξυφάνθη τῷ τύπῳ
λειμῶνα θεῖον πνεύματος γεωργίᾳ
ὀσφρίων φέρουσα ἐξηνθισμένων,
ἀλλ' ὄντα πλεῖστα τῶν λίαν ὀνησίμων,
ἅπερ πρὸς ὠφέλειαν ἡμῶν τοῦ γένους
παρὰ Χρυσάνθου προσκυνητοῦ δεσπότου
καὶ πατριάρχου τοῦ θεοῦ λόγου τάφου
προσυντέθειται πανσόφως ἠθροισμένος·

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

καὶ δὴ δεόντως ᾔδαμεν πλείστην χάριν
ἄμφω δι' ὃν καὶ παρ' οὗ ὑψιθρόνῳ
ὡς εὐποροῦντες τήνδε θείαν βίβλον,
θεὸν δι' εὐχῶν τοῦ δι' ἡμᾶς δεσπότου
ἀεὶ πονοῦντος ἀξιοῦντες συντόνως
δίῳ Στεφάνῳ τοῦ γένους γερασφόρῳ
τῆς εὐσεβείας ἀντιδοῦναι ὡς γέρας
καὶ ἐμπεδῶσαι τὴν ἐπὶ θρόνου στάσιν
εἰρηναίαν εἰς ἀπείρους ἡλίους.

Ὁ τῆς ὑμετέρας ἐκλαμπρότητος
πρόθυμος θεράπων, τῶν ἱερομονάχων εὐτελής
Μητροφάνης.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ